οὐδ' ἔμετοι χολόεντες ἐπήλυθον· ἡ δέ τε γαστὴρ
νέρθ' αὐαινομένη πάντ' ἔνδοθι λύματα κεύθει·
κύστιος ἐκ δ' ὀλίγιστα καὶ ἄχροα λείβεται οὖρα (χ)
δὴ τότε σήμαθ' ἅπαντα κακήθεα μᾶλλον ἐπῶρσε (ψ)
χθιζῶν προτριτάτων τ' ὀλοώτερα, πήματα λυγρὰ
ἄλγεά τε στονόεντα φέρων δειλοῖσι βροτοῖσιν·
ἣν προτέρην γὰρ ἄμειψεν ἐνηέα ῥηΐα μορφὴν,
κὰκ διεχεῦ' ὅδ' ἔγεντ' ἀζηχὴς καὶ κακοήθης (ω),
ἐς λοιμόν τ' ἐτράπη βροτολοιγόν· καὶ γὰρ ἔπειτα
ῥίγεα μὲν κρυόεντα μεθῆκεν ὅγ', αὐτὰρ ἐνῶρσε
θερμωλὴν ὀλοὴν, ἀζηχέα τ' ἀζαλέην τε·
οὐ λώφησε δ' ἔπειτ' ἠβαιόν ἡ, οὐδ' ἀπέληξεν,
ἀστεμφὴς δ' ἐτέλεσσε διαμπερὲς ἔς γε τελευτὴν
νούσου λευγαλέης· τῇ δ' ἄμμιγα πήματα πάντα
ἕσπεται ἀλγινόεντα, τὰ κῦρσε πρόσθε βροτοῖσιν,
ἐμμενέως μίμνει τε καὶ ἄπλετα πάντα φορεῖται,
σφυγμοῖς ξὺν θαμέεσσιν, ἀμιδροτέροισι δὲ τοῖς δε,
αὐαλέον δίψος τε καὶ ἄσχετον, οὖλος ἀλυσμὸς,
κῶμαθ' ὁμοῦ πανάγρυπνον, ὅ γυῖα τε λῦσε νοσεῦντος (α),
τὸν δέ τε μὰψ φλύζοντα παραιφρονέοντα τε θῆκε (β)
τῷ δ' ἀλίαστος ἔπειτα ῥέα ξύμβλητο φρενῖτις (γ)
εἴνατον ἑνδέκατον τρισκαιδέκατόν τε κατ' ἦμαρ,
ἀρ-

---

(χ) Ἐπιδημ. *Α. α.* (ψ) ἐπιδημ. *Α. α. β.* (ω) Γαλην. περὶ κρίσ. *Γ. δ.* τύπ. *δ.* (α) ἐπιδημ. *Α. β.* Γαλην περὶ τύπων *δ.* (β) ἐπιδημ. *Α. α.* (γ) ἐπιδημ. *Α. β.* Ἀλέξ. Τραλλ. *Α. ιγ.*